προσηγορίας τοῦ ἀνδρὸς ὁ Λόγος αἰνίσσεται) κατάγειν ἀπὸ τοῦ ὕψους, καὶ τὸν πτωχόν, τουτέστι τὸν ἐνδεῶς ἔχοντα τῶν μεγάλων δογμάτων (καθὼς καὶ τῷ προφήτῃ δοκεῖ λέγοντι· «Ἴσως πτωχοί εἰσι, διὰ τοῦτο οὐκ ἀκούουσι, πορεύσομαι πρὸς τοὺς ἁδρούς», πτωχοὺς δὲ τοὺς περὶ τὴν σύνεσιν ἐνδεῶς ἔχοντας λέγων, καὶ ἐνταῦθα, δηλονότι), τοὺς οὔπω κατηρτισμένους τὸν ἔσω ἄνθρωπον, οὐδὲ εἰς τὸ τέλειον ἐφθακότας τῆς ἡλικίας μέτρον (τούτους περιφέρεσθαι καὶ σαλεύεσθαι ἡ παροιμία φησίν), ἀλλ᾽ ὅμως ᾤμην χρῆναι σιωπῇ φέρειν τὰ λυπηρὰ ἐκδεχόμενός τινα δι᾽ αὐτῶν τῶν ἔργων ἐπανόρθωσιν. Οὐδὲ γὰρ κακίᾳ τινί, ἀλλ᾽ ἀγνοίᾳ τῆς ἀληθείας ἡγούμην ἐκεῖνα καθ᾽ ἡμῶν εἰρῆσθαι. Ἐπειδὴ δὲ ὁρῶ τῷ χρόνῳ συμπροϊοῦσαν τὴν ἔχθραν καὶ μὴ μεταμελομένους ἐπὶ τοῖς ἐξ ἀρχῆς λαληθεῖσι, μηδ᾽ ὅπως τὰ παρελθόντα ἐξιάσαιντο ποιουμένους τινὰ φροντίδα, ἀλλ᾽ ἐπεξεργαζομένους καὶ πρὸς τὸν ἐξ ἀρχῆς σκοπὸν συντεταγμένους ὃν ἐνεστήσαντο, κακῶσαι ἡμῶν τὴν ζωὴν καὶ χρᾶναι τὴν ὑπόληψιν παρὰ τοῖς ἀδελφοῖς μηχανώμενοι, οὐκέτι μοι τὸ τῆς σιωπῆς ἀσφαλὲς καταφαίνεται. Ἀλλ᾽ εἰσῆλθέ με τὸ τοῦ Ἡσαΐου λέγοντος· «Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; Ἐκαρτέρησα ὡς ἡ τίκτουσα». Γένοιτο δὲ καὶ ἡμᾶς καὶ τὸν ἐπὶ τῇ σιωπῇ μισθὸν δέξασθαι καὶ λαβεῖν τινα ἐν τοῖς ἐλεγμοῖς δύναμιν, ὥστε ἐλέγξαντας ἡμᾶς ξηρᾶναι τὸν πικρὸν τοῦτον τῆς καθ᾽ ἡμῶν ῥυείσης ψευδηγορίας χείμαρρον, ὥστε ἂν εἰπεῖν καὶ ἡμᾶς· «Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν», καὶ τό· «Εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους